www.tezaurliturgic.ro

# «ЄΥΧΗ»

## ЄΙϹ ΤΟΝ ΑΓΙΟΝ ΑΠΟϹΤΟΛΟΝ ΠЄΤΡΟΝ, ΚΑΙ ΤΗΝ ΘΥΓΑΤЄΡΑ ΑΥΤΟΥ ΑΓΙΑΝ ΠЄΤΡΟΝΙΛΑΝ

### Ὑπὸ Καθηγουμένης Ἰσιδώρας Μοναχῆς Ἁγιεροθεϊτίσσης

Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ τῆς ζωῆς χορηγὸς καὶ τῆς πίστεως ἀρχηγὸς καὶ θεμελιωτής· ὁ παρέχων ἡμῖν διὰ τὴν πολλήν σου φιλανθρωπίαν τὴν χάριν τοῦ ἐλέους σου· ὁ ὑποσχόμενος πᾶσι τοῖς εἰς σὲ πιστεύουσι τὸν πλοῦτον τῶν αἰωνίων σου ἀγαθῶν καὶ ἀκαταλήπτων, ἃ ὁ Πατήρ σου πρὸ καταβολῆς κόσμου ἡτοιμάσατο τοῖς ἀγαθοῖς δούλοις Αὐτοῦ· ὁ εἰπὼν ἐν τῷ Ἁγίῳ σου Εὐαγγελίῳ· «ὁ πιστεύων εἰς ἐμὲ κἂν ἀποθάνῃ ζήσεται» καὶ πάλιν ἐν τῇ αὐθεντίᾳ τῆς σῆς ἀληθείας εἰπών· «πάντα ὅσα ἂν αἰτήσητε πιστεύοντες ἐν τῷ ὀνόματί μου, δοθήσητε ἡμῖν», βεβαιώσας δὲ ὅτι «πάντα δυνατὰ τοῖς πιστεύουσιν εἰς Σέ»·

Αὐτὸς καὶ νῦν Δέσποτα παντοδύναμε καὶ θελητὰ ἐλέους ὑπερεύσπλαγχνε, εὐδόκησον τοῦ ἀκοῦσαι τῆς φωνῆς ἡμῶν, τῶν ἀναξίων ἱκετῶν σου, τῶν ἐν ταῖς θλίψεσι τοῦ ἀστάτου βίου δονουμένων καὶ δεομένων ἐκτενῶς τῆς σῆς ἀγαθοδότου δωρεᾶς καὶ τῆς σῆς ἰσχύος τὴν ῥοπὴν ἐπιζητούντων.

Στερέωσον ἡμᾶς ἐν τῇ πέτρᾳ τῆς πίστεώς σου, ἐν ᾗ πάντες οἱ Ἅγιοί Σου ἐστερεώθησαν. Ἀξίωσον ἡμᾶς τοῦ στοιχεῖν ἐν τῇ ὁδῷ τῶν προσταγμάτων σου καὶ τηρεῖν τὰ σὰ σωτηριώδη καὶ ἅγια θελήματα. Δίδου ἡμῖν τὸ σθένος τοῦ ὁμολογεῖν τὴν πίστιν σου, ἐνώπιον τῶν ἀνθρώπων, καθὼς Αὐτὸς ἡμῖν προσέταξας, εἰπών: «Ὅστις ὁμολογήσει με ἔμπροσθεν τῶν ἀνθρώπων, κἀγὼ ὁμολογήσω αὐτὸν ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς».

Ἐνίσχυσον ἡμᾶς τοῦ ποιεῖν κατὰ τὰς ἐντολάς σου, ἵνα μὴ λόγοις μόνον, ἀλλ᾽ ἔργῳ καὶ ἀληθείᾳ βεβαιῶμεν τοῖς

www.tezaurliturgic.ro

λαοῖς τὴν πρὸς Σὲ πίστιν καὶ πεποίθησιν, ἀσφαλεστέραν δὲ τὴν πρὸς Σὲ ἀγάπην διαφυλάξωμεν. Ποίησον ἡμᾶς σκεύη τῆς παρουσίας σου, τὴν σφραγίδα σῆς μαρτυρίας διακρατοῦντα καὶ τὴν δόξαν τῆς Βασιλείας Σου φανεροῦντα, ἣν οἱ πιστοὶ πάντες κληρονομήσουσιν ἐν τῷ καινῷ αἰῶνι.

Πρεσβείαις τῆς Παναχράντου Μητρός, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ τῶν Ἁγίων σου, Ἀποστόλων τῶν ἐν κόσμῳ κηρυξάντων Σε. Ἐξαιρέτως δὲ Πέτρου τοῦ πρωτοκορυφαίου τούτων, ὅστις μετὰ παῤῥησίας πολλῆς, ἐνώπιον τῶν μαθητῶν Σου ὡμολόγησέ Σε «Χριστόν, Υἱὸν τοῦ Θεοῦ τοῦ Ζῶντος», ἅμα δὲ τῆς θυγατρός αὐτοῦ Πετρονίλης, ἥτις τῆς πετρωνύμου πίστεως τὴν κλῆσιν ἐν ἀριστείαις ἀγαθαῖς ἐπεσφράγισε καὶ πάντων τῶν ἀπ' αἰώνων Ὁμολογητῶν καὶ Μαρτύρων, τῶν ἐν πόνοις καὶ ἄθλοις τὸ Σὸν Ὄνομα βεβαιωσάντων. Ὅτι σὺ εἶ τῆς αἰωνίου ζωῆς, τὸ κεφάλαιον καὶ σοὶ τὴν ἀληθῆ λατρείαν καὶ προσκύνησιν ἀναπέμπομεν, σὺν τῷ Πατρί σου καὶ τῷ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

